†τῆς ἄλλης μνηστῆς† εἵνεκα ναυτιλίης.

---

οὐκ εἶμ', οὐδ' ὑπ' ἐμοῦ κεκλήσεται. οὐδ' ἐπὶ τύμβωι
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ,
οὐδ' ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος οὔτ' ἀνιῷτο
οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα.

---

οὔτέ σε κωμάζειν ἀπερύκομεν οὔτε καλοῦμεν·
ἁρπαλέος παρεών, καὶ φίλος εὖτ' ἂν ἀπῇς.

---

Αἴθων μὲν γένος εἰμί, πόλιν δ' εὐτείχεα Θήβην
οἰκῶ, πατρώιας γῆς ἀπερυκόμενος.

---

μή μ' ἀφελῶς παίζουσα φίλους δένναζε τοκῆας
Ἀργυρί· σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι,
ἡμῖν δ' ἄλλα μέν ἐστι γύναι κακὰ πόλλ', ἐπεὶ ἐκ γῆς
φεύγομεν, ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη,
οὔθ' ἡμᾶς περνᾶσι· πόλις γε μέν ἐστι καὶ ἡμῖν
καλή, Ληθαίωι κεκλιμένη πεδίωι.

(Theognidis)

[μήποτε] πὰρ κλαίοντα καθεζόμενοι γελάσωμεν
τοῖς αὑτῶν ἀγαθοῖς Κύρν' ἐπιτερπόμενοι.

(Theognidis)

ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενῆ ἐξαπατῆσαι
Κύρνε· φίλον δὲ φίλωι ῥάιδιον ἐξαπατᾶν.